γωγῆς, [27]καὶ διελεῖτε τὰ σκῦλα ἀνὰ μέσον τῶν πολεμιστῶν τῶν ἐκ- 27
πορευομένων εἰς τὴν παράταξιν καὶ ἀνὰ μέσον πάσης συναγωγῆς.
[28]καὶ ἀφελεῖτε τέλος κυρίῳ παρὰ τῶν ἀνθρώπων τῶν πολεμιστῶν 28
τῶν ἐκπεπορευμένων εἰς τὴν παράταξιν μίαν ψυχὴν ἀπὸ πεντακο-
σίων ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν βοῶν καὶ
ἀπὸ τῶν προβάτων καὶ ἀπὸ τῶν αἰγῶν· [29]καὶ ἀπὸ τοῦ ἡμίσους αὐτῶν 29
λήμψεσθε καὶ δώσεις Ελεαζαρ τῷ ἱερεῖ τὰς ἀπαρχὰς κυρίου. [30]καὶ 30
ἀπὸ τοῦ ἡμίσους τοῦ τῶν υἱῶν Ισραηλ λήμψῃ ἕνα ἀπὸ τῶν πεντή-
κοντα ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προ-
βάτων καὶ ἀπὸ τῶν ὄνων καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ δώσεις
αὐτὰ τοῖς Λευίταις τοῖς φυλάσσουσιν τὰς φυλακὰς ἐν τῇ σκηνῇ
κυρίου. [31]καὶ ἐποίησεν Μωυσῆς καὶ Ελεαζαρ ὁ ἱερεὺς καθὰ συνέ- 31
ταξεν κύριος τῷ Μωυσῇ. [32]καὶ ἐγενήθη τὸ πλεόνασμα τῆς προνο- 32
μῆς, ὃ ἐπρονόμευσαν οἱ ἄνδρες οἱ πολεμισταί, ἀπὸ τῶν προβάτων
ἑξακόσιαι χιλιάδες καὶ ἑβδομήκοντα καὶ πέντε χιλιάδες [33]καὶ βόες 33
δύο καὶ ἑβδομήκοντα χιλιάδες [34]καὶ ὄνοι μία καὶ ἑξήκοντα χιλιάδες 34
[35]καὶ ψυχαὶ ἀνθρώπων ἀπὸ τῶν γυναικῶν, αἳ οὐκ ἔγνωσαν κοίτην 35
ἀνδρός, πᾶσαι ψυχαὶ δύο καὶ τριάκοντα χιλιάδες. [36]καὶ ἐγενήθη τὸ 36
ἡμίσευμα ἡ μερὶς τῶν ἐκπεπορευμένων εἰς τὸν πόλεμον ἐκ τοῦ
ἀριθμοῦ τῶν προβάτων τριακόσιαι καὶ τριάκοντα χιλιάδες καὶ
ἑπτακισχίλια καὶ πεντακόσια, [37]καὶ ἐγένετο τὸ τέλος κυρίῳ ἀπὸ τῶν 37
προβάτων ἑξακόσια ἑβδομήκοντα πέντε· [38]καὶ βόες ἓξ καὶ τριά- 38
κοντα χιλιάδες, καὶ τὸ τέλος κυρίῳ δύο καὶ ἑβδομήκοντα· [39]καὶ ὄνοι 39
τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, καὶ τὸ τέλος κυρίῳ εἷς καὶ ἑξή-
κοντα· [40]καὶ ψυχαὶ ἀνθρώπων ἑκκαίδεκα χιλιάδες, καὶ τὸ τέλος αὐ- 40
τῶν κυρίῳ δύο καὶ τριάκοντα ψυχαί. [41]καὶ ἔδωκεν Μωυσῆς τὸ τέ- 41
λος κυρίῳ τὸ ἀφαίρεμα τοῦ θεοῦ Ελεαζαρ τῷ ἱερεῖ, καθὰ συνέταξεν
κύριος τῷ Μωυσῇ. [42]ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ισραηλ, οὓς 42
διεῖλεν Μωυσῆς ἀπὸ τῶν ἀνδρῶν τῶν πολεμιστῶν — [43]καὶ ἐγέ- 43
νετο τὸ ἡμίσευμα τὸ τῆς συναγωγῆς ἀπὸ τῶν προβάτων τρια-
κόσιαι χιλιάδες καὶ τριάκοντα χιλιάδες καὶ ἑπτακισχίλια καὶ πεντα-
κόσια [44]καὶ βόες ἓξ καὶ τριάκοντα χιλιάδες, [45]ὄνοι τριάκοντα χιλι- 44 45
άδες καὶ πεντακόσιοι [46]καὶ ψυχαὶ ἀνθρώπων ἓξ καὶ δέκα χιλιάδες 46
— [47]καὶ ἔλαβεν Μωυσῆς ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ισραηλ 47
τὸ ἓν ἀπὸ τῶν πεντήκοντα ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν

27 εκπεπορευμενων $B^c$ | πασης] + της A || 28 τελος] pr. το A | εκπορευομενων A: item in 36 | αιγων] ονων A || 30 των $2^0$ > $B^c$ || 32 εβδομηκοντα] + χιλιαδες A (in *O* sub ※) | πεντε χιλ.] πεντακισχιλια A || 33 βοων A || 34 και $1^0$ > B | ονων A || 35 πασαι ψυχαι] -σα -χη A || 36 τριακοσιαι] + χιλιαδες A (in *O* sub ※) | επτακισχιλια] -λιαι $B^c$, πεντακισχιλιοι B* | πεντακοσια] -σιοι B*, -σιαι $B^c$ || 37 εξακοσια] -σιοι B*, -σιαι $B^cA^c$ || 41 καθαπερ A || 42 του > B*† || 43 το $2^0$] απο B || 47 το > A$B^c$